# Δέησις ὑπέρ ἀπελευθερώσεως τῶν αἰχμαλώτων,
# ἐπιστροφῆς τῶν προσφύγων
# καί ἐκδιώξεως τῶν εἰσβολέων ἐκ τῆς Νήσου ἡμῶν

## Δέησις ὑπέρ ἀπελευθερώσεως τῶν αἰχμαλώτων, ἐπιστροφῆς τῶν προσφύγων καί ἐκδιώξεως τῶν εἰσβολέων ἐκ τῆς Νήσου ἡμῶν.

| | |
|---|---|
| Ὁ Διάκονος: | Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν ………………… καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ ἀνευρέσεως τῶν ἀγνοουμένων πατέρων καί ἀδελφῶν ἡμῶν. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ τῆς ταχείας καί ἐν ἐλευθερίᾳ ἐπανόδου τῶν ἐκτοπισθέντων ἀδελφῶν ἡμῶν εἰς τάς πατρογονικάς αὐτῶν ἑστίας. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ τῆς συντμήσεως τοῦ χρόνου τῆς δοκιμασίας ἡμῶν, ἐκδιώξεως τῶν εἰσβολέων ἐκ τῆς νήσου ἡμῶν καί ὑπέρ ἀποκαταστάσεως τῆς ἐλευθερίας καί τῆς δικαιοσύνης ἐν αὐτῇ. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ ἀναπαύσεως τῶν ψυχῶν πάντων τῶν ὑπέρ πίστεως καί πατρίδος ἀγωνισαμένων καί πεσόντων καί πάντων τῶν ταυτοποιηθέντων ἀγνοουμένων πατέρων καί ἀδελφῶν ἡμῶν. |
| Ὁ Διάκονος: | Ἔτι δεόμεθα ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καί ἐλεῆσαι ἡμᾶς. |
| Ὁ Χορός: | Κύριε ἐλέησον (γ΄). |

**Ὁ Ἀρχιερεύς:** Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γάρ καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ Διάκονος:** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ Ἀρχιερεύς:** **Τήν Εὐχήν.**

Κύριε, ὁ Θεός ἡμῶν, ὁ παιδεύων καί πάλιν ἰώμενος, ὁ ὑποστηρίζων τούς καταπίπτοντας καί ἀνορθῶν τούς κατεῤῥαγμένους˙ ὁ τῶν ὀρφανῶν πατήρ καί τῶν χειμαζομένων λιμήν καί τῶν νοσούντων ἰατρός˙ ὁ ταχύς εἰς βοήθειαν καί βραδύς εἰς ὀργήν˙ Ἐπάκουσον τῆς φωνῆς τῆς δεήσεως ἡμῶν ἐν τῇ θλιβερᾷ ταύτῃ ἐπετείῳ καθ' ἥν ἀνοσίως ἐχθρός ὑπεράριθμος, ὑπέροπλος καί ὑπερόπτης ἐπετέθη καθ' ἡμῶν καί ἐδούλωσεν ἡμᾶς. Ἐπιλήσμονες γεγονότες τῶν δωρεῶν καί τῶν εὐεργεσιῶν σου, τοῖς προστάγμασί σου οὐκ ἐπορεύθημεν καί τάς ἐντολάς σου οὐκ ἐφυλάξαμεν.

Τεσσαράκοντα καί ἑπτά ἔτη μετά ταῦτα, ἱστάμεθα εἰσέτι πρό τῶν ἐρειπίων καί συνειδητοποιοῦμεν τό μέγεθος τῆς καταστροφῆς. Ἐπί τοσαῦτα ἔτη ἐν τῷ κατεχομένῳ τμήματι τῆς πατρίδος ἡμῶν οὐκ ἔστιν ὁλοκαύτωσις, οὐδέ θυσία, οὐδέ προσφορά, οὐδέ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι καί εὑρεῖν ἔλεος. Τά θυσιαστήριά σου, Κύριε, κατέσκαψαν οἱ τῆς Ἄγαρ, καί τούς πιστούς σου, οὕς μέν ἀπέκτειναν, οὕς δέ ἐδίωξαν βίᾳ ἐκ τῶν ἑστιῶν αὐτῶν.

Καί νῦν, ἐν ψυχῇ συντετριμμένῃ καί πνεύματι ταπεινώσεως, προσπίπτομέν σοι καί ἱκετεύομεν: Ἐπιμέτρησον ταῖς ἀνομίαις ἡμῶν τούς οἰκτιρμούς σου. Ἀντίθες τήν ἄβυσσον τῶν οἰκτιρμῶν σου τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. Ἐν τῷ ἐκλείπειν τήν ἰσχύν ἡμῶν, μή ἐγκαταλίπῃς ἡμᾶς. Ἐγενήθημεν, Κύριε, ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμός καί χλευασμός τοῖς κύκλῳ ἡμῶν. Ἀλλά μή παραδῴης ἡμᾶς εἰς τέλος. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι καί βοῶντας τό· «Ἡμάρτομεν». Ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπί τόν δεινῶς δοκιμαζόμενον λαόν σου. Σύντριψον τήν ἐπηρμένην ὀφρύν τῶν ἀπηνῶν διωκτῶν τοῦ Σταυροῦ σου. Ἀποδίωξον ἀπό τῆς γῆς τῶν πατέρων ἡμῶν τάς ὀρδάς τῶν βαρβάρων καί ἀλλοθρήσκων εἰσβολέων τῶν καταδυναστευόντων καί ἐξουθενούντων τόν λαόν σου καί βεβηλούντων τούς ναούς σου. Τούς ἐν αἰχμαλωσίᾳ καί ὁμηρείᾳ ὄντας ἀδελφούς ἡμῶν ἐπανάγαγε καί σύναψον τοῖς οἰκείοις αὐτῶν. Τάς ψυχάς τῶν ὑπό τῶν πολεμίων ἀναιρεθέντων καί τῶν ἐν τῷ ἀγῶνι πρός ὑπεράσπισιν τῆς πατρίδος ἡμῶν πεσόντων, ἐν σκηναῖς ἁγίων κατάταξον. Τόν φιλόχριστον ἡμῶν στρατόν ἐνίσχυε καί τούς ἐπ' ἐξουσίας νομίμως ὄντας φώτιζε καί καθοδήγει, ἡμᾶς δέ πάντας ἀξίωσον τῆς χαρᾶς τῆς ἀπελευθερώσεως τῆς πατρίδος ἡμῶν, ἵνα ἐν ὅλῃ τῇ νήσῳ ἡμῶν ἐλευθερουμένῃ καί εἰς βίον εἰρηνικόν καί εὐτυχῆ καί ἡσύχιον ὁδηγουμένῃ δοξάζηταί σου τό πανάγιον ὄνομα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

Ἀπόλυσις.